## ΘΕΡΑΠΩΝ.

ξέναι γυναῖκες, ποῦ κόρην Ἐρεχθέως
δέσποιναν εὕρω; πανταχῇ γὰρ ἄστεως
ζητῶν νιν ἐξέπλησα, κοὐκ ἔχω λαβεῖν.
ΧΟ. τί δ' ἔστιν, ὦ ξύνδουλε; τίς προθυμία
ποδῶν ἔχει σε, καὶ λόγους τίνας φέρεις;
ΘΕ. θηρώμεθ'· ἀρχαὶ δ' ἁπιχώριοι χθονὸς
ζητοῦσιν αὐτὴν, ὡς θάνῃ πετρουμένη.
ΧΟ. οἴμοι, τί λέξεις; οὔ τί που λελήμμεθα
κρυφαῖον ἐς παῖδ' ἐκπορίζουσαι φόνον;
ΘΕ. ἔγνως· μεθέξεις δ' οὐκ ἐν ὑστάτοις κακοῦ.
ΧΟ. ὤφθη δὲ πῶς τὰ κρυπτὰ μηχανήματα;
ΘΕ. τὸ μὴ δίκαιον τῆς δίκης ἡσσώμενον
ἐξηῦρεν ὁ θεὸς, οὐ μιανθῆναι θέλων.
ΧΟ. πῶς; ἀντιάζω σ' ἱκέτις ἐξειπεῖν τάδε.
πεπυσμέναι γὰρ εἰ θανεῖν ἡμᾶς χρεὼν,
ἥδιον ἂν θάνοιμεν, εἴθ' ὁρᾶν φάος.
ΘΕ. ἐπεὶ θεοῦ μαντεῖον ᾤχετ' ἐκλιπὼν
πόσις Κρεούσης, παῖδα τὸν καινὸν λαβὼν,
πρὸς δεῖπνα θυσίας θ' ἃς θεοῖς ὡπλίζετο,
Ξοῦθος μὲν ᾤχετ' ἔνθα πῦρ πηδᾷ θεοῦ
βακχεῖον, ὡς σφαγαῖσι Διονύσου πέτρας
δεύσειε δισσὰς παιδὸς ἀντ' ὀπτηρίων,
λέξας, Σὺ μέν νυν, τέκνον, ἀμφήρεις μένων
σκηνὰς ἀνίστη τεκτόνων μοχθήμασιν·
θύσας δὲ γενέταις θεοῖσιν ἢν μακρὸν χρόνον
μένω, παροῦσι δαῖτες ἔστωσαν φίλοις.
λαβὼν δὲ μόσχους ᾤχεθ'. ὁ δὲ νεανίας
σεμνῶς ἀτοίχους περιβολὰς σκηνωμάτων
ὀρθοστάταις ἱδρύεθ', ἡλίου φλογὸς
καλῶς φυλάξας οὔτε πρὸς μέσας βολὰς,
ἀκτῖνας οὔτ' αὖ πρὸς τελευτώσας βίον,
πλέθρου σταθμήσας μῆκος εἰς εὐγώνιον,
[μέτρημ' ἔχουσαν τοὐν μέσῳ γε μυρίων
ποδῶν ἀριθμὸν, ὡς λέγουσιν οἱ σοφοὶ,]